## Βακχὶς Ὑπερείδῃ

Πᾶσαί σοι ἴσμεν αἱ ἑταῖραι χάριν καὶ ἑκάστη γε ἡμῶν οὐχ ἧττον ἢ Φρύνη. ὁ μὲν γὰρ ἀγὼν μόνης Φρύνης, ὃν ὁ παμπόνηρος Εὐθίας ἐπανείλετο, ὁ δὲ κίνδυνος ἁπασῶν. Εἰ γὰρ αἰτιοῦσαι παρὰ τῶν ἐραστῶν ἀργύριον οὐ τυγχάνομεν ἢ τοῖς διδοῦσιν τυγχάνουσαι ἀσεβείας κριθησόμεθα, πεπαῦσθαι κρεῖττον ἡμῖν τοῦ βίου τούτου καὶ μηκέτι ἔχειν πράγματα μηδὲ τοῖς ὁμιλοῦσι παρέχειν.

Νῦν δ οὐκέτι τὸ ἑταιρεῖν αἰτιασόμεθα, ὅτι πονηρὸς Εὐθίας ἐραστὴς εὑρέθη, ἀλλ' ὅτι ἐπιεικὴς Ὑπερείδης ζηλώσομεν. πολλὰ τοίνυν ἀγαθὰ γένοιτό σοι τῆς φιλανθρωπίας.

Καὶ γὰρ ἑταίραν χρηστὴν σεαυτῷ περιεσώσω, καὶ ἡμᾶς ἀμειψομένας σε ἀντ' ἐκείνης παρεσκεύασας. εἰ δὲ δὴ καὶ τὸν λόγον γράψαις τὸν ὑπὲρ τῆς Φρύνης, τότε ἂν ὡς ἀληθῶς χρυσοῦν αἱ ἑταῖραί σε στήσαιμεν ὅπῃ ποτὲ βούλει τῆς Ἑλλάδος.

## Βακχὶς Φρύνῃ

Οὐ τοσοῦτόν σοι τοῦ κινδύνου συνηχθέσθην, φιλτάτη, ὅσον ὅτι πονηροῦ μὲν ἀπηλλάγης ἐραστοῦ χρηστὸν δὲ εὗρες Ὑπερείδην, συνήσθην. τὴν γὰρ δίκην σοι καὶ πρὸς εὐτυχίαν γεγονέναι νο-